prohibent, non rectè faciunt. sunt enim vtiles ad augmentũ, cùm sint quodãmodo exercitationes corporũ. spiritus enim cõpressio facit robur laborantibus, quod cõtingit etiã pueris ploratũ cohibẽtib. Prouidendũ est ab his, quibus puerorum cura publicè cõmissa est circa huiusmodi educationẽ, & alia, & vt quàm minimè cũ seruis versentur. hęc enim ætas vsq. ad annos septem, necessariũ est vt domi alatur, rationabile est ergo præcipuè in hac ætate, vt ab auditu & visu seruiliũ rerum absint: Omnino igitur obscœnitas verborũ, vt & quicquam aliud, per legislatorẽ exterminanda est de ciuitate. ex turpiter enim loquẽdi licentia sequitur & turpiter facere. Potissimũ igitur statim à pueris, neque dicant, neq. audiãt quicquam turpe. Si quis verò dicere aut facere quicquã prohibitorũ deprehensus fuerit, is si liber sit, sed nondum in conuentum comessatorũ dignatus assumi, honore prohibeatur & verberibus castigetur, sed si sit maioris ætatis, seruili infamia afficiatur, admissi seruilis officij gratia. Cùm verò dicere quicquam interdixerimus, clarum est quòd & aspicere aut picturas, aut actus deformes prohibemus. Sit igitur cura magistratibus nullam neque picturam neq; statuam esse talium rerum imitatricem, nisi apud Deos quosdam, quibus etiam lasciuiam mos tribuit, apud hos permittet lex iam homines factos pro se, & filiis, & vxoribus sacra facere. Iuniores autem neque iamborũ, neque tragœdiarũ spectatores esse sinat, nisi cùm ad eam peruenerũt ætatem, vt in comessationibus vnà cùm aliis sedere, & potus etiam participes esse possint, & ab ebrietate & huiusmodi labe insontes disciplina omnes præstabit. Nos quidem nunc cursim ista attigimus: postea vero insistentes oportebit determinare magis, siue oportet, siue non oportet primo quærentes, & quomodo, sed in præsenti mentionem de his facere necessarium fuit. Forsitan enim non malè circa hoc censebat Theodorus tragœdiarum actor, nulli enim vnquam concedere voluit, vt antè se ageret, neque ex vilibus etiam histrionibus, qua si magis faueant auditores illis, quos primo audierint. Contingit hoc idem in conuersationibus hominum & rerum

A ὀρθῶς ἀπαγορεύουσιν οἱ κωλύοντες ἐν τοῖς νόμοις. συμφέρουσι γὰρ πρὸς αὔξησιν. γίνεται γὰρ τρόπον τινὰ γυμνασία τοῖς σώμασιν. ἡ γὰρ τοῦ πνεύματος κάθεξις, ποιεῖ τὴν ἰσχὺν τοῖς πονοῦσιν. ὃ συμβαίνει καὶ τοῖς παιδίοις διατεινομένοις. ἐπισκεπτέον δὲ τοῖς παιδονόμοις τήν τε τούτων διαγωγὴν, τήν τ' ἄλλην, καὶ ὅπως ὅτι ἥκιστα μετὰ δούλων ἔσται. ταύτην γὰρ
B τὴν ἡλικίαν, καὶ μέχρι τῶν ἑπτὰ ἐτῶν, ἀναγκαῖον οἴκοι τὴν τροφὴν ἔχειν. εὔλογον οὖν ἀπολαύειν ἀπὸ τῶν ἀκουσμάτων καὶ τῶν ὁραμάτων ἀνελευθερίας, καὶ τηλικούτους ὄντας. ὅλως μὲν οὖν αἰσχρολογίαν ἐκ τῆς πόλεως, ὥσπερ ἄλλο τι, δεῖ τὸν νομοθέτην ἐξορίζειν· ἐκ τοῦ γὰρ εὐχερῶς λέγειν ὁτιοῦν τῶν αἰσχρῶν γίνεται καὶ τὸ ποιεῖν σύνεγγυς. μάλιστα μὲν οὖν ἐκ τῶν νέων, ὅπως μήτε λέγω-
C σι, μήτε ἀκούωσι μηδὲν τοιοῦτον. ἐὰν δέ τις φαίνηταί τι λέγων ἢ πράττων τῶν ἀπηγορευμένων, τὸν μὲν ἐλεύθερον, μήπω δὲ κατακλίσεως ἠξιωμένον ἐν τοῖς συσσιτίοις, ἀτιμίαις κολάζειν καὶ πληγαῖς· τὸν δὲ πρεσβύτερον τῆς ἡλικίας ταύτης, ἀτιμίαις ἀνελευθέροις, ἀνδραποδωδίας χάριν. ἐπεὶ δὲ τὸ λέ-
D γειν τι τῶν τοιούτων ἐξορίζομεν, φανερὸν ὅτι καὶ τὸ θεωρεῖν, ἢ γραφὰς, ἢ λόγους ἀσχήμονας. ἐπιμελὲς μὲν οὖν ἔστω τοῖς ἄρχουσι μηδὲν μήτε ἄγαλμα, μήτε γραφὴν εἶναι τοιούτων πράξεων μίμησιν· εἰ μὴ παρά τισι θεοῖς τοιούτοις, οἷς καὶ τὸν τωθασμὸν ἀποδίδωσιν ὁ νόμος· πρὸς δὲ τούτοις ἀφίησιν ὁ νόμος τοῖς ἔχοντας ἡλικίαν πλέον προσήκουσαν, καὶ ὑπὲρ αὑτῶν καὶ τέκνων καὶ γυναικῶν
E τιμαλφεῖν τοῖς θεοῖς. τοῖς δὲ νεωτέροις οὔτ' ἰάμβων, οὔτε κωμῳδίας θεατὰς νομοθετητέον, πρὶν ἢ τὴν ἡλικίαν λάβωσιν, ἐν ᾗ καὶ κατακλίσεως ὑπάρξει κοινωνεῖν ἤδη, καὶ μέθης, καὶ τῆς ἀπὸ τῶν τοιούτων γιγνομένης βλάβης ἀπαθεῖς ἡ παιδεία ποιήσει πάντας. νῦν μὲν οὖν τοῦτον ἐν παραδρομῇ πεποιήμεθα τὸν λόγον. ὕστερον δ' ἐπιστήσαντας
F δεῖ διορίσαι μᾶλλον, εἴτε μὴ δεῖ πρῶτον, εἴτε δεῖ διαπορήσαντας, καὶ πῶς δεῖ. κατὰ δὲ τὸν παρόντα καιρὸν, ἐμνήσθημεν ὡς ἀναγκαῖον. ἴσως γὰρ οὐ κακῶς ἔλεγε τὸ τοιοῦτον Θεόδωρος ὁ τῆς τραγῳδίας ὑποκριτής. οὐδενὶ γὰρ πώποτε παρῆκεν ἑαυτοῦ προεισάγειν, οὐδὲ τῶν εὐτελῶν ὑποκριτῶν, ὡς οἰκειουμένων τῶν θεατῶν ταῖς πρώταις ἀκοαῖς. συμβαίνει δὲ ταὐτὸ τοῦτο καὶ πρὸς τὰς τῶν ἀνθρώπων ὁμιλίας, καὶ πρὸς τὰς τῶν πραγμάτων.

πάντα